C ʽδίδωμι δέ σοι τόδ᾽ ἄεθλον
αὔτως· οὐ γὰρ πύξ γε μαχήσεαι οὐδὲ παλαίσεις,
οὐδέ τ᾽ ἀκοντιστὺν ἐνδύσεαι οὐδὲ πόδεσσι
θεύσεαι·᾽

τὸν δὲ πρεσβύτην ἐν τῷ ἀποκρίνεσθαι παραδολεσχοῦντα γεροντικῶς ὅτι (Ψ 634)

ʽπὺξ μὲν ἐνίκησα Κλυτομήδεα, Οἴνοπος υἱόν,
Ἀγκαῖον ⟨δὲ⟩ πάλῃ Πλευρώνιον, Ἴφικλον δὲ πόδεσσι
παρέδραμον·᾽

αὖθις δὲ τὸν μὲν Ὀδυσσέα τοὺς Φαίακας προκαλούμενον (θ 206)

ʽἢ πὺξ ἠὲ πάλῃ ἢ καὶ ποσίν,᾽

τὸν δ᾽ Ἀλκίνουν ὑποτιμώμενον (θ 246)

D ʽοὐ γὰρ πυγμάχοι εἰμὲν ἀμύμονες οὐδὲ παλαισταί,
ἀλλὰ ποσὶ κραιπνοῖς θέομεν·᾽

ὡς οὐ κατὰ τύχην ἐκ τοῦ παρισταμένου τῇ τάξει χρώμενος ἄλλοτ᾽ ἄλλως, ἀλλὰ τοῖς εἰθισμένοις τότε καὶ δρωμένοις κατὰ νόμον ἐπακολουθῶν· ἐδρᾶτο δ᾽ οὕτως τὴν παλαιὰν ἔτι τάξιν αὐτῶν διαφυλαττόντων.᾽

2. *Παυσαμένου* δὲ τοῦ ἀδελφοῦ, τἆλλα μὲν ἔφην ἀληθῶς λέγεσθαι, τὴν δ᾽ αἰτίαν τῆς τάξεως οὐκ ἐπῄνουν. ἐδόκει δὲ καὶ τῶν ἄλλων τισὶ μὴ πιθανὸν εἶναι ⟨γεγονέναι⟩ τὸ πυκτεύειν καὶ παλαίειν πρότερον ἐν ἀγῶνι καὶ ἁμίλλῃ τοῦ τροχάζειν, καὶ παρεκάλουν ἐξάγειν εἰς τὸ ἀνώτερον. ἔφην δ᾽ ἐκ τοῦ παραστάντος, ὅτι ταῦτά μοι
E πάντα μιμήματα δοκεῖ καὶ γυμνάσματα τῶν πολεμικῶν εἶναι· καὶ γὰρ ὁπλίτης ἐπὶ πᾶσιν εἰσάγεται, μαρτυρούμενος ὅτι τοῦτο τὸ τέλος ἐστὶ τῆς σωμασκίας καὶ [τὸ] τῆς